D 3. Ἐξελθὼν δ᾽ ἐπὶ πόλεμον ἔγραψε τοῖς ἐφόροις ‘ἅσσα δήλομαι πράξω κατὰ πόλεμον ἢ τεθναξοῦμαι.’

4. Ἐπεὶ δὲ συνέβη πεσεῖν αὐτὸν ἐλευθεροῦντα τοὺς ἐπὶ Θρᾴκης Ἕλληνας, οἱ δὲ πεμφθέντες εἰς Λακεδαίμονα πρέσβεις τῇ μητρὶ αὐτοῦ Ἀρχιλεωνίδι προσῆλθον, πρῶτον μὲν ἠρώτησεν εἰ καλῶς ὁ Βρασίδας ἐτελεύτησεν, ἐγκωμιαζόντων δὲ τῶν Θρᾳκῶν καὶ λεγόντων ὡς οὐδεὶς ἄλλος ἐστὶ τοιοῦτος, ‘ἀγνοεῖτε’ εἶπεν ‘ὦ ξένοι· Βρασίδας γὰρ ἦν μὲν ἀνὴρ ἀγαθός, πολλοὺς δ᾽ ἐκείνου κρείσσονας ἔχει ἡ Σπάρτη.’

## ΔΑΜΩΝΙΔΑΣ

E Δαμωνίδας ταχθεὶς ἔσχατος τοῦ χοροῦ ὑπὸ τοῦ τὸν χορὸν ἱστάντος ‘εὖγε’ εἶπεν, ‘ὦ χοραγέ, ἐξεῦρες πῶς καὶ αὕτη ἡ χώρα ἄτιμος οὖσα ἔντιμος γένηται.’

## ΔΑΜΙΣ

Δᾶμις πρὸς τὰ ἐπισταλέντα περὶ τοῦ Ἀλέξανδρον θεὸν εἶναι ψηφίσασθαι, ‘συγχωρῶμεν’ ἔφη ‘Ἀλεξάνδρῳ, ἐὰν θέλῃ, θεὸς καλεῖσθαι.’